ζει κόσμον ὀνομάζων, καὶ δηλῶν οὐκ ἄλλου τινός, ἀλλ' αὐ-
τοῦ εἶναι τὸν περίγειον κόσμον, ἐν ᾧ καὶ σωματικῶς παρὼν
τὸν τῆς σωτηρίας διέσπειρε λόγον. Ὅταν οὖν ἡ ἀλήθεια
τὸν κόσμον αὐτοῦ εἶναι λέγῃ, ἔλεγε δὲ καὶ ὁ πονηρός, ἡνίκα
τὰς βασιλείας πάσας κατηλαζονεύετο ὑποχειρίους ἔχειν,
οἱ δὲ τῇ τόλμῃ τῆς γλώττης ἀφαιρῶσι μὲν αὐτὸν τοῦ
κοινοῦ ~~κυρίου~~ κτίστου καὶ δημιουργοῦ, ὑποβάλλονται δὲ τῷ διαβόλῳ:
ἆρα οὐκ εἰς ψεῦδος μὲν ἀπορρίπτουσι τὴν ἀλήθειαν, τὸν δ' ἀρ-
χηγὸν τοῦ ψεύδους ἀληθείᾳ μετὰ τῆς ἄλλης δόξης καλλωπίζουσι
καὶ τοῦ μὲν δεσπότου συλῶσι τὸ κτῆμα, μετὰ τοῦ λῃστοῦ δεί-
νονται; καὶ τὸν ἀποστάτην καὶ μαστιγίαν καὶ ἀγνώμονα τῶν
ὁμοδούλων ἀναγορεύουσι κύριον: καὶ πῶς ἂν οὗτοι τὸν ἀλη-
θῆ καὶ φιλάνθρωπον ὄψονται κύριον; τῆς τυραννίδος συν-
εργοὺς καὶ ὑπηρέτας, μᾶλλον δὲ ἀρχηγοὺς ἑαυτοὺς ἀπογρα-
ψάμενοι; ἄλλως τε δέ, εἴπερ μὴ ἦσαν οἱ ἀγροὶ καὶ ὁ
κόσμος τοῦ ἀγαθοῦ καὶ φιλανθρώπου σωτῆρος ἡμῶν, ἀλλ' ἡ
φαυλότης αὐτῶν διεκληροῦτο τὴν κυριότητα; πῶς τοῖς
ἕνεκεν τοῦ ὀνόματος αὐτοῦ καταλιποῦσιν οἰκίας καὶ ἀγροὺς
καὶ τῆς σωματικῆς συγγενείας τὰ τιμιώτατα, κατὰ τὴν ἐν
τῷ παρόντι βίῳ μισθαποδοσίαν, οὐκ ἀφαιρεῖται τοὺς ἀγροὺς
οὔτε ἄλλα, ὅσα τῆς αἰσθητῆς ἐστὶ κτίσεως, ἀλλὰ καὶ αὐτὰ
τῷ ἑκατονταπλασίονι περιλαμβάνει δώρῳ καὶ ἀντιδίδωσιν
οἷς κληρονομία ἡ αἰώνιος ζωή, καὶ φιλοτιμεῖται τούτοις τοὺς
l. ἦν θερμοὺς ἐραστάς, ὧν ἡ κτῆσις εἴπερ ἦσαν φαῦλα, καὶ αὐ-
τοὶ ἂν ἀπεσβέννυτον ἔρωτα, καὶ μεταποιεῖται τῆς ἀμοι-
βῆς, ἃ μηδὲ τὴν ἀρχὴν ἔδει κεκτῆσθαι. μᾶλλον μὲν οὖν δι' ἃ
καὶ τῶν ἄλλων ὁ μισθὸς οὐκ οἷς δοθείη, ἄλλοις ἀφαιρεθείη φέρει
τὸ δίκαιον. ποῦ δὲ χώραν ἔχει συντάττειν τὴν πάντα νοῦν
ὑπερέχουσαν σοφίαν ταῖς ἀγαθοποιοῖς αὐτῆς δωρεαῖς, ἃ τῆς
πονηρίας ἐστίν, εἴπερ ἦσαν οἱ ἀγροί, καὶ τὰ ἐν τοῖς ἀγροῖς
δημιουργήματα;